ἐτῶν δέκα. ταῦτα οὖν ἀκούσας λυκοῦργος περίλυπος
γέγονεν ἐπὶ τῇ τοιαύτῃ ἀποτομίᾳ νεκτεναβώ. καὶ συγ-
καλέσας τοὺς ἑαυτοῦ φίλους ἅπαντας, ἔφη, οὐ δύνασθε
διαλῦσαι τὸ τοῦ πύργου ζήτημα διασαφήσατέ μοι. πάν-
των δὲ ἀπορησάντων καθίσας αὐτὸς εἰς τὸ ἔδαφος,
ἐθρήνει τὸν αἴσωπον, καὶ στενάζων ἔλεγε, τὸν κίονά μου
τὸν κίονα τῆς βασιλείας ἀπώλεσα διὰ τὴν ἀβουλίαν
μου. ποία με εἱμαρμένη ἐξώργησεν ἀπολέσθαι τὸν
αἴσωπον. ἐπιγνοὺς δὲ ὁ ἕρμιππος, ὅτι περίλυπος
ἦν ὁ βασιλεὺς διὰ τὸν αἴσωπον, θέλων τὸ ἑαυτοῦ
ἁμάρτημα εὔκαιρον δεῖξαι, προσελθὼν τῷ βασιλεῖ
εἶπε, δέσποτα βασιλεῦ, μὴ οὕτως κατάλυπος γίνου.
τὴν γὰρ ἀπόφασιν ἣν ἔδωκας τῷ αἰσώπῳ ἐγὼ οὐκ
ἐποίησα, εἰδὼς ὅτι μετάμελον ἕξεις. γνωστὸν ἔστω